2835 πολυγήθεος H: Mus. | χαίρων H: A **2836** ὄνος] ὁ νοῦς H: Scal. | ἐναντίος H: Alb. | μυρσίναν H: Mus. | κομίζων … μυρσίνην] verba, quae male ad Paus. quadrant, ft. corrupta sunt | ⟨…⟩] lac. agn. Schm. | de Polygnoti picturis asini (Delphis in Lescha Cnidiorum, Paus. perieg. 10,27,4) et leporis (Athenis in Anaceo, Hsch. et Ph) cf. RE v. Polygnotos 21 (2), 1633,60–64 et 1631,59–64 **2838** πολύδακρυ H: A **2839** πολύδακρυ· τὸν H: Schm. **2840** πολλοῦ H: A | δαμάζων H = A: Mus. | πολυδάμνων] πολυδαιδάλων Mein. 1858 p. 551 | πολυδαμνον· πολυκεντητον και ποικιλον A[75] **2841** πολυδείραδος H: accent. Mus., cf. Schol. | τραχείλους H: Mus. | τράχειλος H: Mus. **2843** cf. ad gl. 1628 | τ 521] cf. gl. 2853 **2845** ἴψαι H: accent. Schm. **2846** nov. gl. πολύφερνος· πολύεδνος H: contin. Voss.; nov. gl. πολύεδνος· πολύφερνος Alb., coll. gll. ε 482 et (de lemmatis et explicationibus inter se perperam commutatis) gl. κ 534; v. etiam ad gll. 2128. 2644. 2857. 3692 **2848** πολυέλικτον· πολύκυκλον ἄδον H: A; verbum ἄδον ex ἁδονάν (terminatione per compendium scripta) ortum est (Alb.); ἁδονάν praetermissum et (in margine?) additum scriba aliquis perperam pro correctione verbi ἡδονήν sumpsit **2849** πολυπόθησον H: ed. 1521 **2851** πολυήρατος] h.e. πολυάρητος (Alb., coll. gl. 2820)

D **2852** πολύηρος· πολυάρουρος. πλούσιος
Hom. **2853** πολυηχέα φωνήν· τὴν πολλοῖς ἤχοις καὶ μέλεσι χρωμένην (τ 521)
D? **2854** πολύθεστος· πολυαγάπητος. πολύσεπτος (Callim. h. Cer. 47?)
2855 *πολύθροον· πολύηχον (Aesch. Suppl. 820?) A[44]
2856 *πολυθρύλλητα· πεφη⟨μι⟩σμένα (Plat. Phaed. 100 b) (A[68]). ἢ θόρυβον ἐμποιοῦντα, ⌊διαβεβοημένα (vg[4]A[31])
D **2857** πολυθύσανε· ⸂Ἄρτεμι πολυθύσανε κούρα⸃, διὰ τὸ θυσάνοις καὶ αὐτὴν χρῆσθαι· ἢ ὅτι πολλαχόθεν ἀίσ⟨σ⟩εται ὡς κυνηγέτις. ἢ πολυθώϋστος. ἢ πολυθυσίαστος
D **2858** πολυΐακος· πολυόρμητος
Hom. **2859** πολύϊδρις· ἐμπειρότατος (ο 459)
2860 *πολυκαγκέος· πολυξήρου A[88]
Hom. **2861** πολυκαγκέα· ἄγαν ξηραντικόν, μεγάλως κατάξηρον (Λ 642)
Hom. **2862** πολυκερδέα· πανοῦργον (ν 255)
Hom. **2863** πολὺ κέρδιον· πολὺ βέλτιον (Γ 41 . .)
Ap. S. **2864** πολύκεστος· πολυκέντητος. ἐξ οὗ τὸν ποικίλον δηλοῖ (Γ 371)
Hom. **2865** πολυκηδέα· πολλῶν κακῶν αἴτιον (ι 37)
2866 *πολυκηδέος· πολυφροντίστου (Hes. fr. 193, 4) Σ
D **2867** πολυκέφαλος· τῶν κιθαρῳδικῶν τι μέλος
Hom. **2868** πολυκλήισι· πολυκαθέδροις, πολυζύγοις. †λεπίδες ταῖς ναυσίν†, ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐταῖς τοὺς ἐρέσσοντας (Β 74 . .)
Ap. S. **2869** *πολύκλητοι· ἀπὸ πολλῶν τόπων ἐπικεκλημένοι Σ βοηθοί (Δ 438 . .)
Ap. S. **2870** πολύκμητον· μετὰ πολλοῦ καμάτου γεγενημένον, ἢ πολὺν κάματον ἡμῖν παρέχοντα. λέγει δὲ τὸν σίδηρον (ξ 324)

2854 cf. Ph 440, 15 v. πολύθετον **2856** Σ π 537; EM 681, 27 **2860** EM 681, 39 **2861** EM 681, 39; Schol. **2862** Schol. **2863** Schol. **2864** Ap. S. 133, 7; EM 681, 43; Schol. **2866** = Σ π 538 **2867** Plut. De mus. 1133 d– e; Schol. Pind. Pyth. 12, 15=9. 39=21 **2868** Ap. S. 133, 5; Schol. **2869** Σ π 539; Ap. S. 132, 31 **2870** Ap. S. 133, 11

2852 πολύηρος] ‘ex poeta ionico, reor’ Lob. Prol. 257 not. 11; πολυήρο⟨το⟩ς Voss., cf. vv. εὐήροτος. ἀνήροτος. βοήροτος. δυσήροτος **2853** cf. gl. 2843 **2855** Aesch.] cf. gll. μ 388. 316 **2856** πολυθρύλλητα] πολυθρυλητα A[68] | πεφησμένα H: A[68] **2857** πολυθύσανε ⸂Ἄρτεμι· πολυθύσανε κοῦρα H: Mein. Anal. Alex. 227; πολυθύσανε κούρα· πολυθύσανε ⸂Ἄρτεμι Alb. (de lemmatis et explicationibus inter se perperam commutatis cf. ad gl. 2846) | αἴσεται H: Mus.; H σ pro σσ in eadem voce etiam gl. α 2128 habet | κυνηγέτης H: Mus. | πολυθόϋστος H: Mus.; πολυθώϋκτος Mein. | Mein. hanc gl. ft. ad Timothei Dianam spectare putat **2858** h. e. πολυάϊκος· πολυορμήτου (A 165 . .) (Alb.), cf. gll. 2816. 2818 et πολυάΐξ· πολυόρμητος Schol. E 811 = Su π 1937 **2859** πολυιδρὶς H: accent. Mus. **2860** πολυκάγχεος H: Voss. **2861** ξηραντικόν] h. e. ξηραντικήν (Schol.) **2863** πολυκέρδιον· πολυβέλτιον H: Mus. **2864** τὸν ποικίλον] cf. gl. 2717 **2865** πολυκηδὲς H: Alb.; inter duas litteras ε unciales perperam litteram C in textu Homeri non exstantem excerpsit lexicographus aliquis; de elisione in fine lemmatis prohibita cf. ad gl. 4517 **2867** κιθαρῳδικῶν] h. e. αὐλητικῶν (Alb.) **2868** πολυκαθέδροις … ναυσὶ] ταῖς πολυκαθέδροις ναυσί Ap. S.; ap. utrumque auctorem mendum quoddam reperitur; Mus. λεπίδες del.; aliquid excidit, ut puto **2870** παρέχων H: Ap. S.

2871 πολύκνημον· δύσβατον, ὀρεινόν (B 497). τραχὺς τόπος Hom.
2872 *πολύκοινον· πᾶσι κοινόν (Soph. fr. 673 R.) A[37]
2873 *πολυκοιρανίη· πολυαρχία (B 204) vg[19]A[62] Hom.
2874 πολύκρημνος· δύσβατος, ὀρεινός (cf. Callim. fr. 279 Pf.) D
2875 πολυκτόνον· πολλοὺς κτεῖνον (Aesch. Ag. 734) D
2876 πολυκτήμων· πολλὰ κτήματα ἔχων (E 613) Hom.
2877 πολυκυλίνδητος· πολλαχοῦ κυλιόμενος (com. ad. fr. dub. 931 K.–A.) D
2878 πολυλάϊστον· πολυλιτάνευτον, πολύευκτον (ε 445) Hom.
2879 πολύλευκτον· πολυπλάνητον, πανταχοῦ περιφερές
2880 πολυλήϊον· πλούσιον (h. Merc. 171) D
2881 *πολυλήϊος· πολύπυρος. ἢ ⌊πολλὰ βοσκήματα ἔχων (E 613) A[87] Hom.
2882 *πολύλιστον· πολυλιτάνευτον (ε 445) A[61] Hom.
2883 *πολυμερές· εἰς πολλὰ μεριζόμενον (Sap. 7,22) g[28]A[71] LXX
2884 πολυμέρμερον· πολυμέριμνον
2885 πολυμερῶς· πολυσχιδῶς, δαψιλῶς. πολλὰ σχήματα ἔχων (Ep. Hebr. 1,1) N.T.
2886 πολύμηλον· πολυπρόβατον (B 605) Hom.
2887 πολυμῆναι· πολύβουλε (B 173 . .) Hom.
2888 *Πολυμήστωρ· ὄνομα κύριον A[59]
2889 *πολυμήτης· πολύβουλος, πολύφρων (A 311 . .) A[91] Hom.
2890 *πολυμήχανε· συνετέ, πολύτεχνε (B 173 . .) Hom.
2891 Πολυμνήστ⟨ε⟩ιον ἄιδειν· εἶδός τι μελο[σ]ποιΐας τὸ Πολυμνήστ⟨ε⟩ιον. ἦν δὲ Κολοφώνιος μελοποιὸς ὁ Πολύμνηστος, εὐμελὴς πάνυ (Cratin. fr. 338 K.–A.) D
2892 *πολυμνήστην· ἀγαθήν, σώφρονα (ξ 64 . .) v[ποδ7] Hom.
2893 πολυμνία· ἡ θάλασσα, ἡ πολὺ φυκίον ἔχουσα. καὶ ὄνομα κύριον

2873 = Schol. **2874** Σ π 541 **2875** Schol. rec. Aesch. **2876** = Schol. **2878** cf. Schol. **2880** EM 681,46 **2882** = Schol.; Su **2887** cf. Schol. **2889** Σ π 543; Ap. S. 133,10; Schol. **2890** Schol. **2891** Ph; Schol. Ar. Equ. 1287; Su α 3940. π 1988 vv. Ἀριφράδης. Πολύμνηστος; Plut. De mus. 1132 d

---

2871 τραχὺς τόπος] ad gl. 2874 transponere vult Schm. **2872** cf. gl. κ 3260 **2874** cf. ad gl. 2871 **2875** expl.] πολλοὺς κτεῖναν Schol. rec. Aesch. | Aesch.] cf. gl. σ 695 (et gl. π 724) **2878** πολυλάιστον H et ordo] h. e. πολύλλιστον (Schow), v. l. gl. 2882 **2879** πολύλευκτον] h. e. πολύπλαγκτον (Alb., coll. gl. 2910, ubi πολυπλέγκτου exstat, ut monet Schm.) **2882** πολύλιστον H (cf. Su)] h. e. πολύλλιστον (A et Schol.), v. l. gl. 2878 **2885** πολυσχεδῶς H: Biel., coll. gll. 2927–8 **2887** πολυμῆναι] h. e. πολυμήχανε (Schm.), cf. gl. 2890 et Schol. πολυμήχανε· πολύβουλε, συνετέ **2889** πολυμήτης H = Ap. S.] h. e. πολύμητις (AΣ et Schol.) **2891** πολυμνήστιον[1] H: ordo et Ph cod. | ἄιδειν (cf. ad gl. 348; ᾄδειν Mus.)] ἀείδειν Ph | Cratin. habet Πολυμνήστει᾽ ἀείδει | τί. μέλος ποιίας H: Mus. | πολυμνήστιον[2] H: Schm. | Πολύμνηστος] cf. Kassel–Austin ad Cratin. | εὐημέρης H: Sop. Heins. | Cratin.] cf. gl. σ 3044 cum testt. (Plut.) **2893** πολυμνία] a μνία (Sop.), Thes. cft. Nic. ther. 950 v. l. ap. Schol. | πολυφύκιον H: Mus.

Hom. **2894** πολύμυθος· φλύαρος. περίεργος (Γ 214)
D **2895** πόλυντρα· ἄλφιτα
D **2896** Πολύξενος· εἷς τῶν ἡρώων (h. Cer. 154?)
D **2897** πολύξεινος· ἡ γῆ
2898 *πολύοπτος· πολυθέατος (epic. ad.?) (A[66])
2899 πολυορκῆσαι ἢ πολιορκῆσαι· κυκλεῦσαι πόλιν στρατῷ
D **2900** Πολυπαΐδης· παρῴδηται ἐκ τῶν Θεόγνιδος· ‘†βόμβων† ἐπαινήσω, ⟨Πολυπαΐδη⟩’
D **2901** πολυπαί⟨πα⟩λος αἰθήρ· πεποικιλμένος. οὐχ ὁμαλός (SH fr. ad. 1100)
Ap. S.? **2902** *πολυπάμ[μ]ονος· πολλὴν κτῆσιν ἔχοντος (Δ 433) A[47]
Hom. **2903** *πολυπάμ[μ]ων· πλούσιος (A[47]), πολλὰ κεκτημένος, πολυχρήμων. πάμ[μ]ατα γὰρ τὰ χρήματα (cf. Δ 433)
2904 πολυπενθέος· πολυπαθοῦς
Hom. **2905** *πολυπήδακα· πολλὰς ἀναβολὰς ἔχουσαν A[72][vg[18]A[54]], ἤτοι ⌊πηγάς (Θ 47 . .) [vg[18]A[54]]
Ap. S.? **2906** πολυπηδάκου Ἴδης· πολλὰς πήδακας ἐχούσης, τουτέστι ὑδάτων ἐκβολάς, ἢ πολλὰς πηγάς (Ξ 307 . . vulg.)
D **2907** πολυπήμονα· πολυβλαβῆ
D **2908** πολύπιστος· ὁ πολλὴν πίστιν ἔχων, ἢ μεγάλην. ἔμπιστος
Hom. **2909** πολυπλάγκτοις· εἰς πολλὰ μέρη πλανωμένοις (P 425)
Hom. **2910** *πολυπλάγκτου· πολυπλανήτου, πανταχοῦ περιφερομένου (Λ 308) A[51]

2901 Ph **2902** cf. Ap. S. 132, 32 **2903** Ph; cf. Schol.; Su; Ap. S. 132, 32 **2905** Σ π 544; Schol.; cf. Ap. S. 131, 25; EM 671, 32 **2906** cf. Ap. S. 131, 25; EM 671, 32 **2909** Schol. **2910** Schol.

2895 πόλυντρα] Lat. polenta (Salm.) **2896** ἡρώων] ⟨ρ′⟩ ἡρώων Mein. 1858 p. 551 (coll. Hdn. dict. sol. 923, 8–9 L. Ἀραφήν· εἷς τῶν ἑκατὸν ἡρώων), quod a Wil. Hom. Unters. 125 not. 28 reicitur. Richardson ad h. Cer. dubitanter affert Sokolowski Lois sacrées, Suppl., 1962, 10, 68. cf. etiam RE 21 (2), 1854, 41–64 **2898** Schm. cft. πολύοπτος ἀπερράγη (leg. ὑπ-) ἄσπετος αἰθήρ An. Par. 4, 349, 6 (cf. Θ 588 = Π 300). id. αἰθήρ huc e gl. 2901 (ad quam v. adn.) perperam transponere vult **2899** πολυορκῆσαι] sic ordo **2900** παροδίται H: Mus. | θεόγνιδος (sine interpunct.) H: Schm. post Vales. et Heins. | βόμβων] βόμβον Heins. (sc. αὐλῶν vel sim., v. Young p. 84 et West p. 241 ad Theognid.; aliter ‘id est, πορδήν’ Meibom); βολβὸν Schm. | ἐπαινήσω] Vales. cft. Theognid. vv. 93. 876. 963 | ⟨Πολυπαΐδη⟩] Schm. post Heins. | ‘sive comici sive parodi alicuius, velut Cratetis’ Bergk PLG[3/4] 2 p. 234 **2901** πολύπαιλος· αἰθὴρ (sine interpunct. insequ.) H: Ph (⟨πα⟩) et Schr. (coll. Opp. hal. 3, 41) (interpunct.); Ph om. αἰθήρ | Lloyd-Jones–Parsons cft. Αἰθὴρ ποικίλος Nonn. Dion. 40, 407–8 **2902** πολυπάμμονος H: A, cf. Ap. S.; cf. gll. 289–90 | κτίσιν ἔχων H: A **2903** πολυπάμμων H = Ph cod.: Alb., cf. A et Ap. S.; cf. gll. 289–90 | πάμματα H: Alb. **2904** πολυπένθεος H: accent. Mus. **2905** πολυπήδακα H et ordo] h. e. πολυπίδακα (K) | ἐχούση H: K **2906** πολυπηδάκου] h. e. πολυπιδάκου (Mus., sicut in text. vulg. Homeri et in Ap. S. legitur) | ἰδῆς H: Mus. | πήδακας] h. e. πίδακας (Mus.) **2908** ἔχων. ἔμπιστος. ἢ μεγάλην H: transp. Hansen post Schm.; Mus. del. ἢ μεγάλην **2909** πολυπλάγκτοις (H = Mus.)] πολυπλάγκτοισιν Hom. **2910** πολυπλέγκτου H: Mus.; Hom. habet πολυπλάγκτοιο | cf. gl. 2879

2911 *πολύπλοκος· πολύτροπος (Greg. Naz. c. 2, 1, 11, 1733 [37, 1150, 11 M.]) A[63] Greg. Naz.
2912 πολύποδες· εἶδος ἰχθύος. ἢ εἶδος φθειρῶν D
2913 πολύποδος δίκην· αὐτὸς ἑαυτὸν καταφαγών D
2914 πολυπράγμων· περίεργος (e. g. Ar. Av. 471. Eupol. fr. 238 K.–A.) D
2915 *πολυπτύχου· πολλὰς ἐξοχὰς ἔχοντος. πολυμεροῦς. πολλὰς πτύχας καὶ εὐρυχωρίας ἔχοντος καὶ πολλὰ ἀποκλίματα (Θ 411 ..) [Σ] Hom.
2916 πολύρρην[η]· ἢ πολυπρόβατος, ἢ πολύαρνος (carm. Naupact. fr. 2, 2 Bernabé. cf. I 154 = 296) D
2917 πολύρρην[η]· πολλὰ ῥήνη ἔχων, τουτέστι θρέμματα (carm. Naupact. fr. 2, 2 Bernabé. cf. I 154 = 296) D
2918 πολύρρητος· πολύφραστος D
2919 *πολυρρήτοισι· πολυπόνοις A[64]
2920 πολυσκάρθμοιο· πολύποδος, πολυβημάτου. ἐπὶ δὲ νεῶν, πολυκώπου (cf. Q. S. 5, 657). οἱ δὲ δρομάδος. καὶ πολυπηδήτου, εὐκινήτου, πολυκινήτου (B 814) Hom.
2921 πολυσμαράγοιο· πολυήχου, ἠχητικοῦ (Opp. cyneg. 2, 138. Greg. Naz. c. 2, 1, 13, 30 [37, 1229, 13 M.]) Greg. Naz.
2922 πολύσπειρον· πολυέλικτον D
2923 *πολυσπερέων· ἐπὶ πολλὰ μέρη τῆς γῆς ἐσπαρμένων vg[23]A[83]. πολυεθνῶν (B 804) Hom.
2924 πολύστιπτος· πολυπόρευτος D
2925 πολύστονα· πολλῶν στεναγμῶν αἴτια (A 445) Hom.
2926 πολυσφέλμου· πολυφλοίου D
2927 *πολυσχιδῆ· εἰς πολλὰ ἐσχισμένον vg[3]A[30], μεμερισμένον A[30]
2928 *πολυσχιδές· πολυμερές (A[43])
2929 *πολυτελῆ· πολυδάπανα,˩ ἢ τὰ πολλοῦ ἄξια, ἤγουν ˹τίμια (vg[5]A[32])
2930 πολυτιμητίζειν· πολλοὺς τιμᾶν. ἢ ὑπὸ πολλῶν τιμᾶσθαι

2913 = Ph = Su **2915** Σ π 545; Schol.; cf. Ap. S. 137, 3 **2917** cf. Σ π 546 **2920** cf. Schol.; Ap. S. 79, 25 v. ἐΰσκαρθμοι; Strab. 12, 8, 6 p. 573 C. **2923** Schol. **2925** = Schol. **2928** Σ π 548 **2930** cf. Ph

---

2913 ἑαυτὸν καταφαγών] locos comicos cet. enumerat West ad Hes. op. 524 | cf. gl. 3170 **2914** περίεργος] cf. gl. 2894 **2915** πολυπτάχου H: Mus., cf. Σ et Ap. S. **2916** πολυρρήνη H: Thes. 6, 1416 d **2917** πολυρρήνη· πολαρρήνη H: Schm. | cf. gl. ϱ 252 cum adn. **2920** δρόμαδος H: accent. Mus. **2921** πολυσμαραγοῖο H: accent. Mus. | Greg. Naz.] cf. ad gl. 3268 **2924** πολύστικτος H: Sop. (Alb. cft. gl. σ 1870); πολύστειος Jens., coll. Callim. h. Iov. 26 (ubi Pfeiffer -στι- ci.) cum Schol.; Ph 441, 10 habet πολυστείνοις (πολυστείβοις? Pfeiffer ad Schol.)· πολυπορεύτοις **2926** πολυσφέλμου] πολυφέλλου Palm., coll. gl. φ 284 φελλός· … φλοιὸς δένδρου **2929** πολλὰ H: Mus. **2930** expl.] [πολλοὺς] τιμᾶν. [ἢ ὑπὸ πολλῶν τιμᾶσθαι] Schm., post Cob. Mnemos. 8, 1859, 20 ('πολυτιμητίζειν est appellare πολυτίμητον et tamquam Deum salutare'), recte nisi quod lexicographum balbutientem (non scribam) corrigit

Hom. **2931** *πολύτλας· ὁ πολλὰ ὑπομείνας vg[24]A[85]. ἢ κακοπαθήσας, πολλὰ ἀνατλάς, ταλαίπωρος (Θ 97 . . ε 171 . .)

Ap. S. **2932** πολυτρήρωνα· πολλὰς περιστερὰς ἔχουσαν (B 502 . .)

Hom. **2933** πολυτλήμων· ὑπομονητικός (H 152 . .)

Hom. **2934** πολύτροπος· ὁ ἐπὶ πολλὰ τρεπόμενος, ἢ τρέπων τὴν ἑαυτοῦ διάνοιαν ὑφ᾽ ἕνα καιρόν (κ 330; α 1)

N. T. **2935** *πολυτρόπως· διαφόρως vg[22]A[70], ποικίλως (Ep. Hebr. 1, 1)

2937 *πολυφασίας· πολυλογίας vg[7]A[34]

D **2936** πολύτορον· δέρμα ἐχίνου· ἤτοι διὰ τὰς ἀκάνθας ἐπεὶ ⟨τι⟩τρώσκουσιν, ἢ ἐπεὶ ἐκφύσεις πολλὰς ἔχουσιν

Hom. **2938** *πολύφημον· πολύφωνον, ἐπιθετικῶς. ἢ ἐκκλησία, ἐν ᾗ πολλαὶ φῆμαι καὶ κληδόνες εἰσίν (β 150). ἢ ἀπὸ τοῦ πολλὰ φημίζεσθαι (χ 376). καὶ ὁ ἔνδοξος (Phil. ebr. 92). καὶ κύριον ὄνομα Κύκλωπος (ι 407)

Hom. **2939** *πολυφλοίσβοιο· πολυταράχου, πολυκινήτου (A 34 . .) A[81]

Hom. **2940** *πολυφόρβου· πολλοὺς τρεφούσης (A[79]) ἢ πολλὴν φορβὴν ἐχούσης (Ξ 200 . .)

D **2941** πολυφραδέος· πολυκερδοῦς. ἢ λίαν συνετοῦ

D **2942** πολυφραδέστερον· συνετώτερον. λογιώτερον. πολυκερδέστερον

Hom. **2943** πολύφρονα· σώφρονα, συνετόν, φρόνιμον (Σ 108 . .)

Hom. **2944** πολύχαλκον· ἰσχυρόν, στερεόν (E 504 . .)

Greg. Naz. **2945** πολυχανδέα· πολλὰ χωροῦσαν (Theocr. 13, 46. Greg. Naz. c. 2, 1, 1, 66 [37, 975, 3 M.])

D **2946** πολυχε⟨ι⟩ρία· πλῆθος ἐργαζομένων καὶ ἀνυόντων (Thuc. 2, 77, 3)

2947 *πολύχουν· πολυειδές (Arist. h. an. 629[a]35) A[36]

2948 *πολύχους· πολυφόρος (vg[9])A[82]

D **2949** πολυώνυμον· τὴν μονάδα οὕτως ἐκάλουν. καὶ ἐπίθετον Ἀπόλλωνος (h. Apoll. 82)

D? **2950** πολυωπόν· πολύβροχον. πολυόμματον. ἢ πολλὰς ὀπὰς ἔχον (Opp. hal. 3, 579. cf. χ 386)

2931 Schol. ε 171 = K; cf. Σ π 549 **2932** Ap. S. 154, 19 = Schol. **2934** Schol. α 1 **2935** gl. N. T. **2937** = Σ π 550 **2936** Ph **2938** Scholl. β 150. χ 376 **2939** Σ π 551; Schol. **2942** cf. Σ π 552 **2943** cf. Schol. **2944** Schol. **2947** Σ π 553 **2948** cf. Σ π 553 **2950** Schol. Opp.; cf. Schol. χ 386 | Arcad. 67, 10

2934 ὑφ᾽] οὐκ ἐφ᾽ Heins. **2936–7** ordinem codicis exhibeo, numeros Schmidtii **2936** πολύτορον· δέρμα ἐχίνου (sine interpunct. insequ.) (πολύτορον· δέρμα τὸ τοῦ ἐχίνου Ph)] πολύτορον δέρμα ἐχίνου· Alb. | τρώσκουσιν H: Mus. **2938** κλύδονες H: Mus. **2941** πολυκέρδους H: accent. Mus. **2946** πολυχερία H: Alb. **2948** πολύφορος H: accent. Mus. **2949** μονάδα] cf. gl. 290 | fin.] cf. etiam Callim. h. Dian. 7 **2950** πολύωπον H: accent. Arcad.

2951 *πολυωρήσεις· φυλάξεις, φροντίδα πολλὴν ποιήσεις (Psalm. 137,3) vg[15]A[41] LXX
2952 *πολυωρεῖ· πολλὴν φροντίδα ποιεῖται (Clem. Al. paed. 2,76,5) (vg[15]A[41]). ἐναντίον δέ ἐστιν τὸ ὀλιγωρεῖν ὀλίγον φροντίζειν. διὸ καὶ τὸν ὀλίγωρον ἀμελῆ λέγουσιν
2953 πολφοί· τὰ ἐκ τῶν χίδρων καὶ τῆς ἐρι⟨κτ⟩ῆς ἑψόμενα (Ar. fr. 701 K.–A. Metag. fr. 18,2 K.–A.) D
2954 πόμφυκα· τὸν κόγχον D
2955 πόμα· πόσις D
2956 πόμαλα· τρόπον τινά
2957 πομάτεσι· πόμασι D
2958 †πομμοῦσαν· ὁμιλεῖν†
2959 πομπεῖα· τὰ[ς] πρὸς τὰς πομπὰς σκεύη (Dem. 22,48). ἢ τόποι, ἐν οἷς τὰ ἐκ τῆς πομπῆς ἀποτίθεται D
2960 πομπεῖ· πομπεύεται
2961 πομπεύει· κατασχολάζει
2962 *πομπεύων· περιάγων. καὶ τὰ ὅμοια A[14]
2963 πομπή· ἄφοδος. καὶ ἐξαποστολή, παραπομπή (ε 32 ..) Hom.
2964 πομπῆες· προπομποί, οἱ προπέμποντες, ὁδηγοί (γ 325 ..) Hom.
2965 πομπηγορῶσι· προπέμπουσιν
2966 πομπίλος· ποιὸς ἰχθύς (Nic. fr. 16,2. Pancrat. Arc. SH fr. 598) D
2967 *πομπός· ὁδηγός, προπέμπων (Ω 182 ..) A[12] Hom.
2968 *πομποστολεῖ· ἐκπέμπει τὸν πλοῦν A[17][vg[7]]
2969 πομποῦ· ὁδηγοῦ (Aesch. Ag. 299) D
2970 πομπυσμάτων· συρισμάτων
2971 [πομποβόλῳ· πέντε ὀβελίσκους ⟨…⟩]

2951 Σ π 554; cf. An. Ox. 2,464,28; gl. Psalm. 303 Ernesti **2953** = Ph; cf. Arcad. 84,19; Erot. 111,13; Poll. 6,61–2 **2959** Harp. 253,8 [π 80 K.] (unde Ph 442,19 et Su); EM 682,44; q 290,4; Moer. 208,23 [π 86 H.] **2963** q 288,24; cf. EM 682,8. 45 **2964** Schol. **2966** cf. Su π 2027 **2967** Σ π 557 **2968** cf. Σ π 558

2953 πόλφοι H = Ph: accent. Arcad. | ἐρίης H: Ph; sc. κριθῆς (cf. Palm. et Kust.), cf. Su χ 301 v. χίδρα. Kassel–Austin ad Ar. formam ft. meliorem ἐρεικτῆς exhibent, sed cf. gll. ε 5852–3; Lev. 2,14; Hippocr. mul. 118 [8,254,22 L.]; cet. | ἑψόμενα H: spir. Ph **2954** πόμφυκα] cf. gll. 2975–6 et v. πομφός | κογχόν H: accent. Mus. | extra ordinem **2955** πόμα] cf. gl. 2957 **2956** πόμαλα] h.e. πώμαλα (Alb.) | τρόπον τινά] οὐ κατὰ τ. τ. Alb., coll. gl. 4504 **2957** πομάτεσι] cf. gl. 2955 **2958** πομμοῦσαν] pro ϝομιλοῦσαν scriptum putat Voss., sed cf. ad gl. 1339 | ὁμιλεῖν] ὁμιλοῦσαν Mus. **2959** πόμπεια H (πομπεία Ph): Harp. | τὰ[1]] τὰς H: Harp. **2960** πομπεύεται] πομπευτῆ Mein. 1858 p. 513 (i. e. lemma πομπεῖ a πομπεύς [non a voce ignota πομπέω]); 'Minus certe placet πομπὴν πομπεύει' Schm., coll. Dem. 21,22 **2961** κατασχολάζει] καταχλευάζει Cor. 62. 126; Alb. cft. gll. ε 2498 (expl. … καταστοχάζων, Cor. 62 ci. καταχλευάζων) et α 4012 **2963** ἔφοδος H: q **2969** πόμπου H: accent. Mus. **2970** πομπυσμάτων] ποππυσμάτων G., coll. gl. 3007 **2971** v.l. gl. 1384 | πομποβολῶ | π̄ H: expl. Mus.

D **2972** πομπῶν· ὁδηγῶν (Hdt. 1, 122, 2)
2973 *πομφαγαγεῖ· τὴν πομπὴν ἄγει A[16]
D **2974** πομφαγεῖται· φυσοῦται. ἀναβράζει
2975 *πομφόλυγες· τῶν ἀσπίδων αἱ ἐξοχαί. καὶ ἐν τῷ ὕδατι γενόμεναι οἰδήσεις, ἢ ⌊φυσήματα vg[1] ὕδατος (Arat. 980). ⌊ἐπὶ τῶν διακενῆς φυσιωμένων λέγεται ἡ λέξις A[10][vg[1]]
2976 *πομφόλυξ· ὕδατος κόχλασμα. καὶ τῶν ἀσπίδων αἱ ἐξοχαί A[13]
2977 πονεῖν· ποιεῖν. ἀσκεῖν. κακοπαθεῖν. ἐνεργεῖν
Hom. **2978** *πονέεσθαι· ἐνεργεῖσθαι (A[6]). καὶ τὰ ὅμοια (K 116 . .)
Hom. **2979** πονέοντο· ἐνήργουν (E 84 . .)
D **2980** πονεύμεναι· ἐπειγόμεναι
D **2981** πομφυίζεσθαι· αἰσχύνεσθαι
D **2982** πονήματα· κόποι
D **2983** πονηρία· ἐπιπονία
2984 *πόνηρον· ἐπίπονον. κακοπαθῆ A[9](g[4]ν[πομ8])
D **2985** πόνηρος· τὰ αὐτά
D **2986** πονηρός· κακός, δεινός, κακοῦργος
Hom. **2987** *πονήσατο· κατειργάσατο (I 348) A[10]
D **2988** πονίωμεν· πονῶμεν
2989 †πόννα· τὸ γράφος. ἢ μάγος†
2990 †πόννος· μάγος†
Hom. **2991** πόνος· ἄλγος, ἐνέργημα ὀδύνης (E 517. K 89. ν 423)
D **2992** πόντια ῥάκ[κ]η· σπόγγοι, ἢ τὰ τούτων σπαράγματα (trag. ad. fr. 258 K.–S.)
D **2993** πόντι[ν]οι· σπόγγοι
LXX **2994** *ποντοβρόχους· ὑπὸ θαλάσσης βρεχομένους (3. Macc. 6, 4) A[5]
Hom. **2995** *ποντόθεν· ἐκ πελάγους (Ξ 395) A[8]
Hom. **2996** *πόντος· θάλασσα g[2](A[7])[ν[πομ5]], πέλαγος (B 210 . .)
Hom. **2997** ποντοπόροιο· θαλασσοπλόου (A 439 . .)

2975 EM 682, 10; cf. Schol. Arat. **2979** = Schol. **2984–5** Arcad. 71, 16 **2985** Ph; Su **2991** cf. Ap. S. 133, 13; EM 682, 18; Su; Scholl. **2992** Ph **2993** Ph **2994** = Σ π 561; cf. Ph **2996** EM 682, 31

2973 πομφαγαγεῖ] h. e. πομπαγωγεῖ (Schm. post Alb.) **2974** πομφαγεῖται] πομφολυγοῦται Schm. post HSt. et Alb. (qui cft. gll. 2975–6) | ἀνακράζει H: HSt. | Alb. cft. Pind. Pyth. 4, 215=121 cum Schol. πομφόλυξαν· ἀνεβράσθησαν **2975** ἔξοδοι H: ἐξοχαί Salm. alii, coll. gl. 2976 | φυσήματι H: vg **2976** κόχλασμα H = A] haec forma etiam gl. α 6265 cod.; cf. LSJ et Lampe vv. κοχλ-. ἀνακοχλ-. ὑπερκοχλ-; Sop. ci. κάκλασμα **2980** πονευμέναι H: accent. Mus. **2984** πονηρὸν H: accent. Mus. **2985** πονηρὸς H: accent. Ph = Su, cf. Arcad. et gl. 2984 **2988** πονιῶμεν H: accent. Ahr. Dial. 2, 210; forma Dorica est, cf. Ahr. l. c.; Thumb 1, 86. 92. cet. **2989–90** cf. gl. 4506 **2989** v. gll. 2990. 4506 **2990** πόννος· μάγος] Schm. putat hoc esse πόνος· ἄλγος, i. e. dittogr. partis prioris glossae 2991 **2992** πόντια· ῥάκκη, H: HSt., cf. Ph πονταράκη· **2993** ποντινοὶ H (ποντεινοί Ph): HSt. **2994** ποντοβρόχους H (-ος Ph)] ποντοβρύχους Σ^{a} et Su **2997** ποντοποροῖο H: accent. Mus.

2998 ποντοπόροις· θαλασσοπλόοις (Greg. Naz. c. 1,2,2,228 [37,596,5 M.]) Greg. Naz.
2999 ποντοπόροισι· πλωταῖς (B 771 ..) Hom.
3000 ποντοπόρος· πέλαγος διαπορευομένη, πελαγοδρόμος (μ 69 ..) Hom.
3001 πόντου Ἰκαρ⟨ί⟩οιο· τοῦ Ἰκαρίου πελάγους, ὅπερ ὠνομάσθη ἀπὸ Ἰκάρ[ι]ου, τοῦ Δαιδάλου παιδός, πεσόντος εἰς αὐτὸ καὶ ἀποθανόντος (B 145) Hom.
3002 πόντῳ κεκλιμένοι· περιεχόμενοι ὑπὸ τῆς θαλάσσης (O 740) Hom.
3003 πόνῳ πόνηρος· κακίᾳ κακὸν προσέπεσεν, ὡς ἀγαθὰ ἀγαθῷ (Ar. Vesp. 466. Lys. 350) D et Prov.
3004 *πόπανα· πλακούντια ἀπὸ ἄρτου (Ar. Eccl. 843. Plut. 660) A[1]
3005 πόπαρ· πατήρ. καὶ πατρὸς πατήρ D
3006 *πόποι· παπαί A[2]. ἐπίφθεγμα σχετλιαστικόν (A 254 ..) [A[πεπ67]]. Ἀπίων (fr. 108 N.) δέ φησιν, οἱ δαίμονές εἰσι πόποι, καὶ ἔστιν· ὦ δαίμονες (α 32. cf. Euphor. fr. 136 P.) Hom. Ap. S.
3007 ποπ⟨π⟩ύσματα· κολακεύματα D
3008 πόρ· ποῦς. Λάκωνες D
3009 *πόρδαλις· ὁ ἄρσην (Φ 573 v.l. δ 457 v.l.)[A[35]], ἡ δὲ θήλεια πάρδαλις (Φ 573. δ 457. cf. Γ 17 [Ap. S.]). ὁ μὲν ἀπὸ τοῦ προαλέσθαι· ἡ δὲ ἀπὸ τοῦ παραλέσθαι Ap. S.
3010 Πορδοσελήνη· μεταξὺ Λέσβου καὶ Μυσίας νῆσος (Arist. h. an. 605[b]29) D
3011 *πόρε· παρέσχε (A 72 ..) A[15] Hom.
3012 *πορεῖν· δοῦναι (Soph. OT 1255) A[37]
3013 πόρε· περιεποίησε, παρέσχε (Z 168) Ap. S.
3014 *πόρεν οἱ ἐπιεικές· παρέσχεν αὐτῷ τὸ πρέπον (T 21) A[17] Hom.
3015 πορεύου· ἄπιθι, ὕπαγε

3001 Schol. **3003** Prov. Bodl. 804 [= append. 4,59] **3004** EM 682,49; Σ π 563; (Paus. π 27) **3006** Scholl.; cf. Ap. S. 133,19 | οἱ δαίμονες κτλ.] cf. Plut. audiend. poet. 22 d; Theogn. can. 958 (p. 158,13 C.); Schol. E ad α 32; EM 823,31 **3007** cf. Σ π 564 **3009** Apio ap. Ap. S. 133,34 **3010** Strab. 13,2,5 p. 619 C.; St. Byz. **3011** Schol. **3013** Ap. S. 133,25 **3014** Schol.

2998 θαλασσοπλοίοις H: Mus. | Greg. Naz.] cf. ft. gl. ν 771 **3000** πελαγόδρομος H: Mus. **3001** ἰκάροιο H: Mus. | ὀνομάσθη H: Mus. | ἰκαρίου H: Mus. **3002** ποντοκεκλημένοι H: Mus. **3003** πονοπονηρὸς H (πονοπόνηρος Ph cod.): HSt. alii (accent. Hansen, cf. gl. 2985 cum adn. et Ar.), coll. Prov.; πονω- ordo Hesychii et Photii; πονωπόνηρ- (sic accent.) Ar. vv. ll. | πρὸς ἔπεισιν H: Sop. | Alb. cft. gl. ω 273 | cf. etiam gl. 4415 **3004** cf. gl. 1432 **3005** πόπαρ] 'pro πάπαρ, i. e. πάπας, ἄππας' Voss. (vocem esse Laconicam putat Cas. ad Athen. 8,352 a); προπάτωρ Parisienses ap. Alb., coll. gl. 3623 **3006** οἱ] ὅτι Lehrs Arist. 118 **3007** ποπύσματα H: Mus., cf. Σ **3008** Thumb 1,91 **3009** πόρδαλης (sic) H: Ap. S. | προελέσθαι H: Mus.; προάλλεσθαι Ap. S. | παραλέσθαι] παράλλεσθαι Ap. S. **3012** πόρειν H: accent. Mus. | Schm. cft. gll. 1436. 1495 **3013** πόρεν· περιεποίησε, οὐχὶ δὲ παρέσχε· 'πόρεν κτλ.' (Z 168) Ap. S. **3014** οἱ i. q. αὐτῷ (expl.)] h. e. οἷ (Pears., cf. Hom. cum Schol.)

D **3016** πορεύς· πορθμεύς
D **3017** πορεῦσαι· πέμψαι, ἀγαγεῖν (Plat. Phaed. 107e)
Eur. **3018** *πορεύσατε· ἄγετε (Eur. Bacch. 355) A[24]
Eur. **3019** πορθεῖν· προνομεύειν, ὀλλύειν (Eur. Phoen. 488)
D **3020** πορθεῖται· ἀναλίσκεται
3021 *πόρθησις· ἐρήμωσις Σ, καθαίρεσις, ἁρπαγή
Eur. **3022** πορθμεύς· κωπηλάτης (Eur. Alc. 253)
D **3023** πορθμεύ[σ]εσθαι· διαβαίνειν. πλέειν
Hom. + D **3024** πορθμῆες[· πορθμεῖς] καὶ πορθμῆ[ε]ς· πορθμεῖς (υ 187; Ar. Eccl. 1086). καὶ ὄνειροι οἱ διαπορεύοντες
D **3025** πορ⟨θ⟩μίον· σκαφίδιον διαπερ⟨αι⟩οῦν μισθῷ (Antiphan. fr. 86, 4 K.–A.?)
3026 πορθμός· στενὸν θαλάσσης ἐν μέσῳ τῆς γῆς. *διαπέραμα [vg[8]A[39]]
Hom. **3027** πορθμῷ· διαπεράματι (δ 671 . .)
3028 †Πορθόμιν†· γένος ἐπιφανές
3029 [πόρθος· πτόρθος, κλάδος, βλαστός]
D **3030** πορθυγγίς· σπατίλη. τρίβολον
D **3031** Ποριεῖς· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς
3032 *πορίζει· κερδαίνει A[32]
3033 πορεία· ὁδοιπορία
D **3034** πόριμον· εὐπόριστον. πορευτόν
D **3035** πορισμός· μηχάνημα
3036 †πόριπα· πόρτις. πορισ̣τ̣ής†
3037 *πορίσονται· περιποιήσονται A[13]
D **3038** πορίσω· κατασκευάσω (Xen. Cyr. 4, 3, 22)
3039 *πόρκας· ἐλάφους. ἢ ταχύ Z[9]

3017 Schol. Soph. El. 801 **3021** Σ π 566 **3026** cf. Σ π 567 **3027** Schol. EQV; cf. Schol. **3034** Ph; cf. Synes. epist. 139; Su θ 188 v. θεοῦ κτλ.

3020 ἀναλίσκειν H: Biel. **3023** πορθμεύσεσθαι H et ordo] πορθμεύ[σ]εσθαι Schm. **3024** πόρθμηες[1] H: accent. Mus. | · πορθμεῖς del. Hansen, coll. e. g. gll. 1342. 1358 de καὶ in lemmate; contra, Mus. vult [καὶ πόρθμηες· πορθμεῖς] | πόρθμηες[2] H: accent. et [ε] Schm. | ὄνειροι] οἱ νεκροὶ Jens. **3025** πορμίον (sic; πορθμίον ordo)] h. e. πορθμεῖον (Mus.) | διαπεροῦν H: Thes. 6, 1486 a **3028** Πορθόμιν] Πορθαονίδαι Mein. 1858 p. 631 **3029** πόρθος· πτόρθος,] h. e. [πόρθος·] πτόρθος· ('Posterius prioris videtur correctio' Alb.), v. l. gl. 4241, q. v. | βλάστος H: Mus., cf. gll. 4241. 4243 **3030** πορθυγγίς] Sop. cft. gll. σ 1557–8 | τρυβλίον H: Schm., coll. gl. σ 1558 **3031** Πορι̣εῖς] forma ignota, debuit esse Πόριοι (aut Πόρος) | ἀκαμάντιδος H: accent. Mus. **3032** cf. gl. α 865 et LSJ v. πορίζω II, 2 **3036** πόριπα] accus. a πόριψ (i. q. πόρις) Guyet; melius πόρις Alb., ordini aptum; πόριταξ (i. q. πόρταξ) Perg., coll. gl. 3073 | πορισ̣τ̣ής] nov. gl. πορισ̣τ̣ής⟨· …⟩ Schm. in app., ft. recte **3037** cf. gl. 1860 **3039** ad expl. ἐλάφους] v. gl. 3524; porro gl. 2141 cum adn.; Schm. cft. Lob. El. 1, 500 de metathesi; cf. praeterea Kühner–Blass 1, 288–9. 2, 117–18; Thumb 2, 379; cet. | ad expl. ταχύ] dial. Arcad.; cf. Naoum. 286; porro gl. 3519

3040 *πόρκης· δακτύλιος (Z 320. Θ 495) A[20] Hom.
3041 πόρκος· κύρτος. τινὲς δὲ τὸν ἁλιευτικὸν κύρτον ἀποδιδόασιν (Lycophr. 74. cf. Plat. Soph. 220 c) D
3042 *πορνάμεν· πωλεῖν A[16]
3043 πορνάμεναι· κεντούμεναι. πωλούμεναι D
3044 *πορν[ι]οκόπος· ἑταιροτρόφος A[29]. πόρνος (Prov. 23, 21) LXX
3045 πόρνῳ παιδί· ὥραί⟨ῳ⟩ D
3046 πόροι· ποταμοί (Soph. Ai. 412) D
3047 πόροις· χαρίσαιο (ι 267) Hom.
3048 πόροις· ὁδοῖς
3049 *πόρος· ὁδός, τρίβος. ἢ τὸ τοῦ ποταμοῦ ῥεῦμα [vg[5]A[18]]. οἱ δὲ τὴν διάβασιν αὐτοῦ (Ar. Pac. 124). οἱ δὲ τὰς γεφύρας (Hdt. 4, 136, 4 . .). καὶ ἀφορμή
3050 πόρπαμα· χλαμύς (Eur. El. 820. Herc. 859. Rhes. 442) Eur.
3051 *πόρπαξ· ἡ λαβὴ τοῦ ὅπλου (Soph. Ai. 576. Ar. Equ. 849) A[προ276]
3052 *πόρπη· ὁ ἀνοχεὺς τῆς ἀσπίδος, εἰς ὃ⟨ν⟩ ὁ πῆχυς ἐνίεται, ἢ ⌊φίβλα (A[12.30]). καὶ τῆς χλανίδος ἡ ⌊περόνη (Σ 401) (A[30]) Hom.
3053 *πόρρω· πόρρωθεν, μακρόθεν [vg[9]A[38]]
3054 ⟩πορρώξ· ἀπόρροια (ι 359. κ 514; B 755) Hom.
3055 πόρρω τέχνης· ὅμοιον τῷ σφοδρῶς ἐνέχεσθαί τινι (Ar. Vesp. 192) D
3056 πορσαίνει· κοσμεῖ. θεραπεύει. κατασκευάζει D
3057 πορσανέουσα· ἑτοιμάσουσα. ἐπιμελησομένη (Γ 411 v.l.) Hom.

3040 = Schol. Θ 495; cf. Schol. Z 320; Σ π 568; Ap. S. 133, 27; Poll. 7, 157; EM 683, 21 **3041** cf. Ph = Su = Tim. lex. **3046** = Schol. Soph.; cf. Su π 2083 **3049** cf. Σ π 569–70 **3051** v. ad gl. 3052 **3052** ὁ ἀνοχεὺς … ἀνίεται] cf. Scholl. Soph. Ai. 576. Ar. Equ. 849. Pac. 662; Su π 2090; Ph = Eust. Il. 905, 54 [3, 394, 10 V.] (Ael. Dion. π 52) | φίβλα] Σ π 571 = EM 665, 32 | καὶ κτλ.] cf. Schol. **3054** = Scholl. ι 359. κ 514 | accent.] Schol. A ad B 755 (Aristarch.); Arcad. 19, 11 **3057** Schol.; cf. EM 683, 47; Eust. Il. 430, 18–21 [1, 677, 11–15 V.]

3040 πορκὶς H: A et Schol. Θ 495 **3041** πορκὸς· κυρτὸς H: accentt. Ph | κυρτὸν H: accent. Mus. **3042–3** formae Aeolicae vocis πέρνημι; cf. gll. 1977–9. 1782–3. 4490 **3042** πόρναμεν H: accent. Voss. **3043** κεντούμεναι] lemmati aptum non est; ft. ad περονώμεναι (Kust.) vel πορπώμεναι (Schm.) vel πειράμεναι (Alb., coll. gl. 1241) **3044** πορνιοκόπος H: A | ἑτεροτρόφος H: A **3045** πόρνοπαι· αἱ ὧραι (sic) H: Schm. in app. (in textu minus bene πόρνῳ· παιδὶ ὡραί⟨ῳ⟩ habet), coll. Ar. Plut. 155; correctio certa esse videtur, sed Schmidtii 'Non dubito quin comici fuerint verba' ft. audacius est (notandum tamen est quod neque Sir. 23, 17 neque Dem. epist. 4, 11 ad explicationem quadrat) **3047** ποροῖς H: accent. Mus. **3050** ποπάλλα H: Salm. **3051** πόρπαξ] προπαξ A eiusque ordo, perperam | v. ad gl. 3052 | Ar. Equ. 849] cf. gl. σ 1874 **3052** Schm. vidit verba ὁ ἀνοχεὺς … ἀνίεται ad v. πόρπαξ (v. gl. 3051) pertinere, cf. gl. α 5534 (ubi ἀντοχεύς legitur); Scholl. Ar.; Su; Ph; mendum est lexicographi alicuius (non scribae) | tum ἢ delendum esset; ἡ Schm. in app. | ὃ H: Biel. | ἀνίεται H: Meibom **3053** ποῤῥωθεν· μακροθεν K **3054** πόῤῥωξ H: accent. Mus. (cf. Aristarch. et Arcad.) et signum decurtationis Hansen, v.l. gl. α 6606 (cf. gl. π 41 cum adn.); ᾽πορρώξ Arnald. (cf. gl. 2201 cum adn.), falso **3055** πόῤῥω· τέχνης. H: ed. 1521 | τὸ H: Scal. **3057** πορσανέουσα H = Γ 411 v.l. et Schol., cf. gl. 3060] πορσυνέουσα Γ 411 vulg. | ἑτοιμάσασα H: Schol.

D **3058** πορσύνεσκον· διήγειρον. παρεσκεύαζον (Ap. Rh. 4, 897 v.l.)
D **3059** πορσανέων· εὐτρεπίζων
Hom. **3060** *πορσάνθουσα· εὐτρεπίζουσα. στρωνν⟨ύ⟩ουσα A[28]. παρασκευάζουσα (Γ 411)
Eur. **3061** πορσῦναι· παρασκευάσαι. πορίσαι. εὐτρεπίσαι (Eur. Alc. 1074. El. 414)
Hom. **3062** *πόρσυνε· διήγειρε (vg[2]). παρεσκεύασεν (γ 403 . .)
D **3063** πορσύνεται· ὁδεύεται (Soph. Phil. 781)
3064 *πορσύνουσα· ἐρεθίζουσα A[11]
D? Eur.? **3065** *πορσύνων· παρασκευάζων, ἑτοιμάζων (e. g. Aesch. Ag. 1374. Eur. Andr. 1063) A[22]. ἐρεθίζων vg[1]
3066 πορσώτατα· τὰ πόρρω καὶ μακράν
3067 *πόρσω· ἔμπροσθεν, ἢ πόρρωθεν ἐγγίσαι A[23]
3069 πόρτα· πύλη r, θύρα πόλεως ἢ αὐλῆς οἴκου
D **3068** πορτάζει· δαμαλίζεται
D **3070** πορτάκι[ν]ον· μοσχίον
Hom. **3071** *πόρτακι· μόσχῳ. ἢ δαμάλ⟨ε⟩ι (P 4) A[27]
D **3072** πόρτακος· ὦμος
D **3073** πόρταξ· ἄρρην βοῦς. τινὲς δάμαλιν, ἄλλοι νεογνόν, οἱ δὲ μόσχον
3074 *πορτικός· στοά A[31]
Ap. S. **3075** *πόρτις· δάμαλις (A[14]), ἢ νέα βοῦς (E 162)
D **3076** πορτίφοροι· οἱ αἴροντες τὰ †κόρροια† ἐπὶ τῶν ὤμων
Hom. **3077** *πορτμίς· κατὰ τὸν ὀμφαλόν (cf. Λ 424) A[36].[προ149]
D **3078** πορύνωμεν μᾶζαν· τῇ χειρὶ προσπιέζομεν

3058 cf. EM 683, 55 **3060** cf. Schol. **3063** Ph **3075** Ap. S. 133, 29; Hdn. epim. 112, 8 Boiss.; EM 684, 1; cf. Schol. | Arcad. 35, 3; 31, 10 **3077** Schol.

3058 πορσύνεσκον] πορσαίνεσκον Schm. (sic codd. plerique Apollonii Rh.), coll. ordine et EM **3060** πορσάνθουσα H (= A) et ordo] h. e. πορσανέουσα (Mus.), cf. gl. 3057 | στρώνουσα H = A: Mus. | cf. gl. 3670 **3061** πορσύναι H: accent. Schm. **3064–5** lemmata] h. e. ft. ὀροθύνουσα et (ad expl. ἐρεθίζων) ὀροθύνων (LSJ post Schm., coll. gl. γ 934 [931 Schm.]) **3066** πορσύτατα H: Mus. **3068–9** ordinem codicis exhibeo, numeros Schmidtii **3069** πόρτα· πόρτα, (sic) H: r (ubi legitur πόρτα· ἡ πύλη· ἀπὸ τοῦ τὸν πόριον τηρεῖν) **3068** πορτάζει] πορτακίζει Voss. **3070** πορτάκινον H: HSt. | μόσχιον H: accent. Mus. **3071** δάμαλι H: Schm. **3072** Schm. putat conferendas esse gl. 3076 et vocem Lat. portare potius quam v. φόρταξ (exstat e. g. com. ad. fr. 803 K.–A.; de π interdum perperam pro φ scripto cf. e. g. gll. π 1117 / φ 226, de metaplasm. cf. nom. φύλακος a φύλαξ) **3074** πορτικός] Lat. porticus **3075** πορτὶς H: accent. Mus., cf. Ap. S. Hdn. Arcad. | δαμαλὶς H: accent. Mus., cf. Hdn. Arcad. **3076** πορτίφοροι] dial. Cret. pro πρόσφοροι (M. L. West); contra, Schm. (post accent. πορτιφόροι Mus.), coll. gl. 3072, ci. hoc esse πορτακοφόροι, i. q. ὠμοφόροι; πορτιοφόροι G. | κόρροια] κόρια vel κοράσια Sop.; πορτάκια Toup.; μοσχία Latte; alii alia **3077** πορ-] h. e. προ-, v. gll. 3998–4001 et κ 1357; A[36] πορτμης habet **3078** πορύνωμεν· μάζαν (sine interpunct. insequ.): interpunct. Mus. et accent. μᾶ- Mein. 1858 p. 552 | πορύνωμεν] h. e. τορυνῶμεν Hansen post Mein. (qui τορύνωμεν praebuit, quia προσπιέζομεν codicis [-ωμεν Mus.] ignoravit); de errore τ > π cf. ad gl. 1366

3079 πορύναν· μαγίδα D
3080 *πορφίτῳ· περόνῃ A^{25}
3081 *πορφύρει· ταράττεται $g^{10}A^{34}$. φροντίζει. μελανίζει (Ξ 16 v.l.; cf. Φ 551. δ 427 ..) A^{34} Hom.
3082 *πόρφυρεν κραδίη· ἐμερίμνα ἡ καρδία (Φ 551 ..) A^{19} Hom.
3083 πορφύρεον· πορφυρο⟨ῦ⟩ν. μέλαν (A 482 ..) Hom.
3084 *πορφύρεος⌋ θάνατος· ὁ ⌊μέλας A^{21}. καὶ βαθύς. καὶ ταραχώδης (E 83 ..) Ap.S.
3085 πορφύρεται· διαλογίζεται (Greg. Naz. c. 1, 1, 7, 32 [37, 441, 5 M.]) Greg.Naz.
3086 *πορφύρει· μελανίζει A^{34}. ταράττει g^{10}. πορφυρίζει (cf. gl. 3081) Hom.
3087 πορφυρίων· εἶδος ὀρνέου. καὶ ἰχθύς. καὶ ὄρνις ποιός (Ar. Av. 707. cf. 553. 1252) D
3088 πορφύροντες· κακοτεχνοῦντες (Q.S. 1, 369) D
3089 πορφυρώματα· τῶν ταῖς θεαῖς τυθέντων χοίρων τὰ κρέα D
3090 πόρωσι· χαρίσονται. δώσουσιν (Π 86) Hom.
3091 *ποσαπλῶς· πολλαχῶς $g^{5}A^{11}$. ἀναριθμήτως (Psalm. 62, 2) $vg^{5}A^{11}$ LXX
3092 *ποσαχῶς· κατὰ πόσους τρόπους, ⌊πολλαχῶς (Sir. 10, 31) A^{10} LXX
3093 [ποσάως· μερικῶς]
3094 πόσε· ποῖ. ποῦ (Π 422 ..) Hom.
3095 πόσθη· τοῦ αἰδοίου τὸ δέρμα D
3096 πόσθ[ο]ιον· αἰδοῖον ἀνδρός (Ar. Thesm. 254) D
3097 πόσθων· πόσθην τὸ ἀνδρεῖον αἰδοῖον λέγουσι (Ar. Nub. 1014). πόσθωνας δὲ παρὰ τοῦτο τοὺς παῖδας, τινὲς δὲ τοὺς ψώλωνας, ἄλλοι μωροὺς ἢ παιδαριώδεις (Ar. Pac. 1300) D

3081 Σ π 573; cf. Schol. AbT ad Ξ 16; Schol. δ 427; Ap.S. 133, 32 **3082** cf. Schol. **3083** Schol. **3084** Ap.S. 134, 7; Schol. **3086** cf. ad gl. 3081 **3087** Schol. Ar. Av. 552. 1252; Athen. 9, 388 b–e; Ael. n. an. 3, 42. 5, 28; Su **3091** An. Ox. 2, 464, 18; cf. Σ π 574 **3094** Schol. **3095** Galen. 4, 159, 12; Poll. 2, 171 **3096** Schol. Ar. Thesm. 254; Ph **3097** cf. Σ π 829; Ph; Su π 2113 v. πόσθη; Schol. Ar.

3079 πορύναν] h.e. τορύναν (Mein. 1858 p. 552), v. ad gl. 3078 | καγίδα H: Mein.; παγίδα Mus., male | significatio e gl. τ 1183 intelligitur (Schm.), quare non ad Sophr. fr. 105 K.–A. spectat **3080** πορφίτῳ·] πόρφῃ (i. q. πόρπῃ, cf. gl. 3052)· τῇ Alb.; cf. A πορφιτῳ· τῃ περονῃ. τῃ φιβλῃ **3081** πορφυρεῖ H: accent. Mus., cf. Σ | ταράττεται] ταρασσεται g (v. ad gl. 3086) AΣ | cf. gl. 3086 **3082** ἐμέριμνα H: accent. Mus. **3083** πόρφυρον H: Mus. **3084** μέλας] μεγας A, perperam **3086** πορφυρεῖ H: accent. Mus.; 'Ordo πορφύρῃ [ut exstat Ξ 16] vel πορφυρίζει poscit' Schm.; πορφύρει· μ. τ. + nov. gl. πορφυρίζει· ⟨…⟩ aut potius πορφυρίζει· μ. τ. [πορφυρίζει] Alb.; cf. ad gl. 2415 | ταράττει] ταρασσει η ταρασσεται g | cf. gl. 3081 **3087** πορφυρεῖον H: Mus. **3089** τιθέντων H: Meibom **3090** cf. gl. 3444 cum adn. de aor. subi. per fut. explicato **3093** v.l. gl. 3112 (del. Mus.) **3094** πόδε H: Schol. (πόσε· ποῦ) **3096** πόσθοιον H: Mus. | αἰτρὸν ἀνδρεῖον H: Hansen, coll. gll. κ 3795 (et 3645) et Su π 2113 v. πόσθη. α 4327 v. ἀταυρώτη; αἰδοῖον ἀνδρεῖον voluit Mus. (αἰδεῖον per lapsum calami scripsit), ordini verborum vix aptum (cf. gl. 3097 cum adn.); αἰσχρὸν ἀνδρεῖον Mein. 1858 p. 508, Hesychio non aptum | Ar. Thesm. 254] cf. gl. σ 2044 **3097** αἰτρὸν H: Mus., cf. gll. ε 5741. κ 2333 et γυναικεῖον αἰδοῖον ap. Hsch. octies; αἰσχρὸν Mein. 1858 p. 508, cf. ad gl. 3096 | περὶ τούτου H: G. | cf. gll. σ 1274. α 2621

Hom. **3098** ποσί· τοῖς ποσί (Ε 745 . .)
Hom. **3099** πόσιας· τοὺς ἄνδρας (Ζ 240)
Hom. **3100** *ποσὶ δατεῦντο· ἰσχυρῶς τοῖς ποσὶ περι⟨ε⟩πάτουν (Ψ 121) A[6]
Hom. **3101** Ποσειδάων· Ποσειδῶν (Α 400 . .)
D **3102** Ποσείδια· ἑορτὴ Ποσειδῶνι τελουμένη
Hom. **3103** Ποσ[ε]ιδήϊον· τὸ τοῦ Ποσειδῶνος (Β 506 . .)
Hom. **3104** *πόσιν· ἄνδρα (Γ 427 . .) [A[13]]
Hom. **3105** *πόσιος· πότου (Α 469 . .) (vg[1]A[7])
Hom. **3106** πόσι[ε]ος· ἀνδρός (π 75 . .)
Hom. **3107** *πόσις· πόμα (Τ 210). ⌊ἀνήρ (Γ 329 . .) Σ. πότος ἢ οἴνου ἢ ὕδατος (Τ 210 . .) A[12]
3108 ποσότης· ἀριθμός. μέτρον
3109 *ποστημόριον· ὀλίγον μέρος (Origen. comm. in Gen. 12, 80 a M. ap. Euseb. praep. ev. 6, 11, 77) vg[3]A[8]
Hom. **3110** πόστον· πόσον (ω 288)
3111 πόστος· ποῖος
3112 *ποσῶς⌋ καὶ πή· ⌊μερικῶς vg[2]A[9]
3113 *ποταμηδόν· δίκην ποταμοῦ vg[3]A[13]
D **3114** ποτανόν· πτηνόν, πετεινόν (Pind. Pyth. 8, 46=34)
3115 ποτάγχυμεν· προσορμίζομεν
D **3116** ποταίνιον· νέον, πρόσφατον (Simon. PMG fr. 519, 92, i, 3. Aesch. Sept. 239 [codd. et Schol.]. PV 102. Pind. Ol. 10, 72=60). οἱ δὲ σύνεγγυς
Hom. **3117** ποταμός· ὁ Ὠκεανός (Ξ 245 . .). καὶ τὸ ὑγρόν. καὶ ὁ σωματοειδὴς θεός (Γ 278 . .). καὶ ἐπὶ τοῦ ἤπατος σημεῖον
D **3118** ποταμόχωστος· γῆ τις· ἀπὸ τοῦ συμβαίνοντος (Agatharch. FGrHist 86 F 19, 34, 2; 39, 7 [= Ephor. FGrHist 70 F 65e] . .)
D **3119** πόταρος· γνώριμος
D **3120** ποτᾶται· πέταται (Ibyc. SLG fr. 223 (b). Aesch. Sept. 85. Eur. Or. 7. Ar. Av. 250 [codd. et Schol.])

3103 Schol. **3104** Schol. **3105** = Schol. **3106** cf. Ap. S. 134, 8 **3107** Σ π 575; EM 684, 19 **3113** = Su; cf. Theogn. can. 934 (p. 155, 9 C) **3114** cf. Schol. Pind. **3116** Scholl. Aesch.; Schol. Pind.; Ph; EM 685, 8 **3120** Schol. Aesch.; Schol. Ar.; Eur. Or. 7 laudatur Schol. Pind. Ol. 1, 91=57 lin. b, 33 et Isthm. 8, 17=7 lin. b, 9

3099 ποσίας H: accent. Mus. **3100** ποσὶ[1]] h. e. ποσσὶ (A) | δατεύνιον H: A | περιπατοῦν H: Mus. **3102** ποσειδία (H: accent. Hansen)] cf. Strab. 8, 3, 12 fin. p. 343 C. et RE 22 (1) 557, 34 v. Poseidonia n. 1; Ποσείδεια M. L. West, coll. ordine **3103** [ε] Schm. **3105** πότος H: Mus. **3106** ποσίεος H: Mus. **3113** cf. gl. ϱ 544 **3115** ποτάγχυμεν] 'Dorice pro προσάγχυμεν, a themate ποτάγχυμι: si tamen mendosum non est' HSt. **3116** ποταίνοον H: Mus.; vox etiam ap. Bacch. et Hippocr. exstat, sed dicitur Dorica esse a Galen. lex. 19, 131, 7 et Schol. Pind. et Ph **3117** ἐπὶ κτλ.] cf. gl. γ 688 **3118** ποταμόχοστος H: Mus. **3119** πόταρος] Dorice pro προσήορος; Voss. cft. πάραρος Theocr. 15, 8 **3120** πόταται H: accent. Mus. | πέταται] πέτεται Schol. Aesch. | Aesch.] cf. gl. ο 1295

3121 ποτεκλεπτόμην· προσεπορευόμην D
3122 ποτεκχετήρια· τορνευτήρια D
3123 *πότερον· ὁποῖον ἓν ἐκ τῶν δύο [v⁴A¹⁴]. ἢ ⌊ἆρα. ποῖον [vg⁵] τῶν δύο
3124 πότερον· ἓν ἐκ δύο, ἕν
3125 πότερος· ἕτερος
3126 ποτή· ποτηνή. πτηνή (ε 337) Hom.
3127 *πότημα· ποτήριον. ἢ ὁ πότος αὐτός (Ierem. 28,39) A¹¹ LXX
3128 ποτήν· ἰδέαν. οἱ δὲ πτῆσιν (ε 337 v.l.) Hom.
3129 ποτήρ· μέτρον ποιόν D
3130 †ποτήτυν†· τὸ πίνειν
3131 *ποτί· πρός (A 245) A²⁹ [τί] Hom.
3132 ποτὶ γαίῃ· πρὸς τῇ γῇ (Δ 112 ..) Hom.
3133 *ποτὶ δέ· ποτὲ A¹⁷ δέ (Hippocr. fract. 34 [3,536,8 L.])
3134 Ποτίδαια· ὄνομα πόλεως
3135 *ποτιδέγμεναι· προσδεχόμεναι (B 137) A²⁰ Hom.
3136 *ποτιδέγμενοι· οἴνῳ δαμασθέντες (β 205) A¹⁶ Hom.
3137 ποτιδέγμενος· προσδεχόμενος (K 123 ..) Hom.
3138 ποτιδέρκεται· προσβλέπεται (Π 10 ..) Hom.
3139 *ποτὶ δὲ φάναι [A³¹]· ἐκφάναι (cf. Ω 353. 598) Hom.?
3140 ποτιδόρπια· προσσίτια (cf. ι 234 ..) Hom.?
3141 ποτὶ ἑσπέρᾳ· πρὸς τῇ ἑσπέρᾳ (ρ 191) Hom.
3142 ποτίκρανον· π⟨ρ⟩ό⟨σ⟩κρανον, τὸ προσκεφάλαιον (Theocr. 15,3. Sophr. fr. dub. 10 K.–A. / com. Att. ad. fr. dub. 1372 Kock [v. app.]). καὶ τὸ δερμάτινον ὑπηρέσ[σ]ιον, ἐφ᾽ οὗ καθέζονται οἱ ἐρέσσοντες D
3143 ποτιόσσεται· προσδοκᾷ D
3144 ποτὶ πλάδεσσιν· ἐπὶ ταῖς θαλασσίαις ⟨πέτραις⟩ (γ 298. ε 401) Hom.

3123 Σ π 576; Choerob. An. Ox. 2,483,10 **3125** Ph 445,18 v. πότερον¹ **3126** cf. Schol. **3128** Schol.; cf. EM 685,11 **3132** = Schol. **3133** Galen. lex. 19,132,8 **3134** Su **3135** cf. Schol. **3138** Schol. **3141** cf. Schol. **3142** Ph; Poll. 2,42. 6,9 **3144** cf. Scholl.

3121 ποτεκλεπτόμην] ποτεκλεπτόμαν Schm., sine causa (unde et Epicharm. fr. 239 a Kaibel [CGF 1,1² p. vii] et fr. anon. Dor. 13 K.–A. [PCG 1 p. 296]) **3125** πότερος] ποτερός· ἄτερος (ἀτερός cod.) Ph **3127** τόπος H: HSt. **3128** πότην H: Schm. **3129** vocem male intellexit lexicographus; cf. Eur. Alc. 756. Cycl. 151 **3130** gl. del. Mus. | ποτήτυν] ποτητύν Schm. **3131** πρὸς τί H: Mus. **3132** ποτιταίη H: Mus. **3133** ποτί· ποτέ Galen. | πότε H: accent. Hansen **3134** ποτιδέα H: Mus. **3135** cf. gl. 3990 **3136** ποτιδεγμένοι H: accent. Mus. **3137** ποτιδεγμένος H: accent. Mus. **3139** πότιδε· φάναι ἐκφάναι H: Schm. in app. | ποτι δε φαιναι· οινῳ δαμασθεντες (sic; de expl. cf. gl. 3136 = A¹⁶) A³¹ **3140** ποτὶ δόρπια· πρὸς σίτια H: Mus. **3141** h.e. ποτὶ ἕσπερα· πρὸς ἑσπέραν (Schol.) **3142** ποτίκρανον] οἱ κωμικοὶ τὸ προσκεφάλαιον ἢ τὸ ὑπηρέσιον Poll. 6,9, τὸ προσκεφάλαιον οἱ κωμικοί id. 2,42; Kaibel vocem ap. Sophronem exstitisse putat; ap. Kock legitur ‘quod ad Atticos certe comicos ita tantum pertinere potest, ut aut Doriensem hominem introductum aut Doricam dialectum inrideri statuamus’ | πόκρανον H: Mus. | ὑπηρέσσιον H: Mus. | ὦ H: Ph, cf. gll. υ 544. ε 547. κ 2954 **3143** cf. gl. 3995 **3144** πλάδεσσιν] h.e. σπιλάδεσσιν (Mein. 1857 p. 616) | ⟨πέτραις⟩ Schm. post Mein., cf. Scholl.

Hom. **3145** *ποτιρόμενος· ἐρωτῶν (H 127). ἢ μαινόμενος A[23]
3146 *ποτὶ φῦλα· πρὸς τὰ ἔθνη (SH fr. ad. 1101) A[21]
D **3147** ποτὶ †κῶρρον†· πρὸς ᾠκοδομημένον τοῖχον (SH fr. ad. 1102)
Hom. **3148** *πότμον· μόρον Σ, θάνατον (B 359 . .) Σ(vg[7]A[30])
Hom. **3149** πότμος· μόρος. ἢ κατασκευή (Σ 96)
3150 *πότμῳ· μόρῳ κατασκευαστῷ A[19]
Hom. **3151** πότνα, *πότνια·⌋ σεβαστή (ε 215 . .), ⌊ἔντιμος (A 357. Δ 2 . .) Σ[π580]. ἢ ⌊φίλη[μα] [A[32]]. καὶ ⌊δέσποινα (Φ 470) Σ[π579][A[32]]. καλή. †μεσήτρια†
3152 ποτνιᾷ· ἱκετεύει, παρακαλεῖ
3153 *πότνια γῆ· καλὴ γῆ (epigr. Hom. 7,1 [vit. Hom. Herodotea 18, lin. 249]) A[18]
Eur. **3154** *ποτνιάδες· αἱ Βάκχαι. ἀντὶ τοῦ μαινάδες καὶ λυσσάδες, ⌊μανίας αἴτιαι (Eur. Bacch. 664. Or. 318. Phoen. 1124) A[24]
3155 ποτ⟨ν⟩ιάζου· εὔχου, παρακάλει
3156 [ποτνιάζειν· τὸ παιδικοῖς χρῆσθαι. πότνιον γὰρ τὸν δακτύ-λ⟨ι⟩ον λέγουσι]
3157 *ποτνιᾶται· ἐπικαλεῖται Σ. δυσωπεῖ. ⌊παρακαλεῖ (Phil. vit. Mos. 201. virt. 57) A[15]Σ
3158 *ποτνιῶμαι· θεοφοροῦμαι. ⌊ἐξιλεοῦμαι (vg[2]A[12]), παρακαλῶ (vg[2]A[12.25]). δυσφορῶ (A[25]). μετ᾽ οἰμωγῆς ἱκετεύω (Phil. rer. div. 37. leg. spec. 1,42) [A[25]]
3159 *ποτοῖο· ποτοῦ A[33]
D **3160** ποτόμφει· προσόζει
Hom. **3161** *πότος· εὐωχία A[26], ἄριστον, δεῖπνον. ἢ αὐτὸ ⌊τὸ πιεῖν A[27]
3162 *ποτωμένας· διατριβούσας (Σ)
Hom. **3163** ποτῶνται· πέτονται (B 462)
3164 *ποῦ· ἐν ἴσῳ τῷ οὐδαμῶς. ἢ ⌊ἀντὶ τοῦ ποῦ πότε, ἀλλαχοῦ A[3]
D **3165** πούανοι· κύαμοι ἑφθοί, ὄσπριον

3145 Schol. **3148** Σ π 578; EM 685,29; Ap. S. 134,10; Schol. **3151** Σ π 579. 580; Schol. A 357. Δ 2; cf. EM 685,50. 686,1 **3154** Ph **3157** Σ π 581 **3158** cf. Σ π 582 **3162** Σ π 583 **3163** = Schol.

3145 ποτιρόμενος] h.e. ποτ᾽ εἰρόμενος pro Homeri ποτέ μ᾽ εἰρόμενος (Jens.); Alb. cft. Schol. εἰρόμενος· ἐρωτῶν; de ποτ᾽ cf. gl. 1557 cum adn. | μαινόμενος] ft. ad ποτνιώμενος (A[25] et Σ π 582) referendum (Alb., coll. gll. 3154. 3158) **3147** ποτίπυργον· προφκοδομημένον τοίχῳ Lloyd-Jones–Parsons | κῶρρον] ἑρκίον Jens., χόρτον Voss. **3151** πότνα· πότνια. H: Hansen; cf. gl. 2507 cum adn. | φίλημα. καὶ δέσποινα καλὴ μεσήτρια H: Schm. (interpunct. post δέσποινα iam Schr.; cruces ipse addidi praeeunte Schm.); φιλη δεσποινα A | καλή] cf. gl. 3153; contra, Schm. cft. gl. 1116 | μεσήτρια] vox exstat Hdn. Π. διχρ. 2,11,32 L; M.L. West ci. μεδήτρια i. q. μεδέουσα **3153** ποτνία H: accent. Alb. **3155** ποτιάζου H: ordo et ed. 1521 | Schm. (ad gl. 3157) cft. gl. ε 6161 **3156** v.l. gl. 3172 | δάκτυλον H: Mus., cf. gl. 3172 **3160** Salm. cft. gl. ο 834 **3161** ἄριστος et δεῖπνος H[ac]: H[c] ut vid. **3163** πότωνται· πέτωνται H: Mus. **3164** τῷ] τὸ H: Mus. **3165** v.l. gl. 4273 (Salm.) | ποῦαν· οἱ (sine interpunct. insequ.) H: Salm. | ἔφθοι H: Mus.

3166 ποῦ κῆχος· πῆ γῆς, εἰς τίνα τόπον. καὶ ποῦ ἄγχι
3167 πο⟨υ⟩λυβότειρα· πολλοὺς βόσκουσα καὶ τρέφουσα (cf. Γ 89. 265 ..) Hom.
3168 *πουλὺν ἐφ᾽ ὑγρήν· ἐπὶ ⌊πολλὴν θάλασσαν A[2]· ὑγρὰν γὰρ αὐτὴν εἶπεν πρὸς ἀντιδιαστολὴν τῆς γῆς ξηρᾶς οὔσης (K 27 ..) Hom.
3169 πο⟨υ⟩λύπους· τὶ μέρος τοῦ ἁρματ⟨ε⟩ίου τροχοῦ καὶ τῶν ἀμπέλων D
3170 πο⟨υ⟩λύποδος δίκαν· ὅτι αὐτὸς τὰς ἑαυτοῦ πλεκτάνας ἐσθίει
3171 ποῦμμα· ἡ τῆς χειρὸς πυγμή D
3172 πουνιάζειν· παιδικοῖς χρῆσθαι· πούνιον γὰρ ὁ δακτύλιος D
3173 *ποῦ νύ τοι· ποῦ δή σοι (O 440) A[4] Hom.
3174 πούρδαιν· μαγειρ⟨ε⟩ῖον. Λάκωνες D
3175 πουρέακος· κρίκος σιδηροῦς τετρυπημένος, καὶ ἧλον ἔχων ἐν τῷ τρυπήματι στρεφόμενον, ᾧ χρῶνται πρὸς δεσμὸν συῶν. πουστάκους, ὡς ᾽Αριστοφάνης φησὶν ἐν ἐξηγήσει Λακωνικῶν (fr. 35 N. = fr. 353 S.) D
3176 ποῦ τοι τόξον· ποῦ σοι ἡ διὰ τόξων ἐμπειρία (E 171) Hom.
3177 ποῦ⟨τ⟩ριν· σαπρόν
3178 †πουφορούζεται†· σικχαίνει
3179 πράγει· ὑπερέχει. ὑπερβάλλει. συμφέρει
3180 *πράγματα· δυσχέρειαι (A[16])
3181 πραγματεία· σύγγραμμα βίβλου ἢ λόγων
3182 *πραγμάτοιν· πράγματα δυϊκῶς (Eur. fr. 362,9 N. = 53,9 Austin. Plat. Gorg. 464 b. 524 b) (vg[6]A[19]) Eur.
3183 πραγορίτης· οἶνός τις D
3184 πραθεῖν· πορθῆσαι. ἐξελεῖν
3185 †πραθενεύεσθαι†· θρασύνεσθαι. ἐπαγγέλλεσθαι λόγοις

3166 v. ad gl. 2712, praesertim EM **3167** cf. Schol. **3168** Schol. **3176** Schol.

3166 ποῦ] ποῖ gl. 2712, q. v. | ἄγχη H: Mus. **3167** πολυβότειρα H: ordo et Voss. Jens. | cf. gl. 2826 **3168** πουλυνυφύγρην H: A et Schol. **3169** πολύπους H: ordo et Voss. | ἁρματίου H: Schm. **3170** cf. gl. 2913 cum adn. | πολύποδες H (πολύποδος Mus.): ordo et Voss. | δίκαν] δίκην gl. 2913 **3171** ποῦμμα] accent. ft. πούμμα (Ahr. Dial. 2,102) aut πουμμά (Schm.) **3172** cf. gll. 4368 et 3156 | πούνιον] cf. gl. 4371 et Frisk 2,626 **3173** πουνήσοι· πουδήσοι H: Mus. **3174** πούρδαιν] πούρδαλον vel πούρδανον Hemsterh., coll. gl. 4410; πούρδαιον Mus.; πουρδαίϊον Nauck ad Ar. Byz. p. 189 not. 3 | μαγείριον H: Mus. **3175** ποῦ ῥέακος H: Mus.; cf. ad gl. 2351 | κρίκη, H: Mus. (comma del. Alb.) | δῆλον ἔχον H: Palm. Heins. | στρεφόμεν (sine term.) H: Palm. Heins.; στρεφόμενος Mus. | πουστάκους] nov. gl., cuius expl. periit, Palm. | ᾽Αριστοφάνης] cf. gl. 2179 **3176** ποῦτοι· τόξον. H: ed. 1521 **3177** ποῦριν H: ordo et Voss. Perg.; Lat. putrem (Voss. fere et Perg.) | σαθρόν H: Mein. 1858 p. 553 **3179** contin. H: nov. gl. Schm. | πράγει] h.e. προάγει (Voss.) + ft. (ad συμφέρει) πρέπει (Schm. dubitanter; v. not. insequ.) | συμφέρει] διαφέρει Schm.; utraque vox exstat una cum πρέπει gl. 3765 **3180** δυσχερεῖαι H: accent. Mus. **3181** λόγων] λόγος Mus. **3182** πράγματα] rectius πραγμάτων (K) **3184** πράθειν H: accent. Schm.; πραθέειν Jens., coll. Hes. scut. 240

3186 πραιέναι· ἐλθεῖν
3187 *πραίκων· κήρυξ (vg^{3}A^{14})
3188 πραῖνοι· πρηνίζειν. καταστρέφειν
D **3189** πράκες· Ἀρίσταρχος †κλανίαι†. ἔλαφοι. ἀπεδόθησαν δὲ φρατρίαι ἀνδρῶν διαβεβλημένων ἐπὶ μοχθηρίᾳ
3190 πράκνον· μέλανα
3191 *πρακτικόν· ἀνυστικόν Σ
Hom. **3192** Πράκτιον· πόλις Τροίας (B 835)
LXX **3193** πράκτορες· ἀπαιτηταί (Esai. 3, 12)
3194 πράληξ· ὁ λίαν ἀγροῖκος
D **3195** πράμνη· δίκελλα. ἄμπελος
Hom. + D **3196** *Πράμνιος οἶνος· ὁ ἀπὸ τῆς Πραμνίας ἀμπέλου Σ^{b}, ἔστι δὲ ἐγκώμιον οἴνου. καὶ ⌊σκληρὸς οἶνος (cf. Λ 639. κ 235. Ar. fr. 334, 1 K.–A.) [A^{18}]
3197 *πρανές· κατάβασις (Xen. Cyr. 2, 2, 24. Anab. 3, 4, 26). καὶ πρανής (Xen. Anab. 5, 2, 29) [A^{20}]
D **3198** πρανῆ· κοῖλα (Xen. equ. 8, 1. 6)
D **3199** πρανιχθέντα· πεσόντα ἐπὶ στόμα
D **3200** πρανόν· τὸ κατωφερές, πρανές
3201 πρανώ· ἀκρίδος εἶδος
3202 πρᾶος· συνετός. ἥσυχος
D **3205** Πραξιεργίδαι· οἱ τὸ ἔδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες
3203 πράξεις· βίοι. ἢ διαθῆκαι
D **3204** Πραξιδίκη· δαίμονά τινά φασι τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις καὶ πραττομένοις. διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι καὶ τὰ θ[α]ύματα ὁμοίως

3191 = Σ π 584 **3192** cf. Schol. **3196** Σ^{b} π 828; cf. Ph = Su; EM 686, 28; Athen. 1, 30 b **3197** Moer. 207, 21 [π 52 H.] **3204** cf. Ph = Su

---

3186 πραιέναι] h. e. παριέναι (Schm., coll. gl. 946); προιέναι Mus. **3187** Lat. praeco; g add. ῥωμαικως **3188** [πραῖνοι·] πρηνίζειν· καταστρέφειν Mus.; πρα[ι]νοῖ· πρηνίζει[ν]. καταστρέφει[ν] Schm., coll. gl. ε 5537 cod. **3189** πράκες et expl. ἔλαφοι] Palm. ci. πρόκες, coll. gl. 3039; cf. etiam gl. 2141 adn. | πράκες et expl. ἀπεδόθησαν κτλ.] Alb. cft. Πρᾶκες St. Byz. 534, 7 (de accentu cf. Hdn. Π. διχρ. 2, 9, 1–3 L.) | Ἀρίσταρχος] huc e gl. 3196 migrasse putat Schm., coll. Ph 446, 9 | φρατριαὶ H: accent. R. Kassel | ἐπιμοχθηρία H: ed. 1521 **3190** πράκνον] accent. πρακνόν Lob. El. 1, 497 | cf. gll. 1972. 3229 **3192** Πράκτιον] Πράκτιος (non -ον) flumen (non urbs) fuit, pace Schol. aliorumque; v. RE Suppl. 14, 476 **3194** πράληξ] προαλής (cf. gl. 3315) Mein. 1858 p. 552, explicationi vix aptum | cf. gll. 3520. 3523 **3196** Πράμνιος· οἶνος, H: interpunct. Schm., cf. Σ^{b} (-ει-) Ph (-ει-) = Su (-ι-) EM (-ει-) | cf. gl. 594 cum adn. et testt. | cf. ad gl. 3189 de Aristarcho **3197** πρανής] πρανίς H: Schm. | πρανης· καταβασις A **3199** cf. gl. 3269 **3201** πρανώ] πρανώψ Vales.; Alb. cft. gl. 954 **3205** extra ordinem **3203** ordinem codicis exhibeo, numeros Schmidtii | R. Kassel cft. IG 1^{3}, 7; Toepffer Attische Genealogie 134 post Hase Thes. 6, 1558 b–c et alios cft. Plut. Alc. 34, 1; Lyd. mens. 4, 15; IG 2/3^{2}, 776, 18; Ditt. Syll. 1008, 6. v. praeterea RE s. v. | ἔδος H: spir. Alb. **3204** θαύματα H: Meurs. Heins.

3205 v. post gl. 3202
3206 *πράξειν· λαβεῖν A[21]
3207 *πρᾶξις· ἀπαίτησις. ἄνυσις vg[4](A[15]), ἢ ἔργου ποίησις. ἢ βίος
3208 πραπίδες· φρένες. ἢ ὁ τόπος, ὅπου αἱ φρένες (Λ 579 ..). διάνοιαι (A 608) Hom.
3209 *πραπίδεσ⟨σ⟩ι· φρεσί vg[7]A[22], διανοίαις (A 608 ..) Hom.
3210 *πραπίδων· φρενῶν (Λ 579 ..) vg[2]A[13], διανοιῶν (X 43 ..) Hom.
3211 πραπίς· φρήν, διάνοια (Pind. Pyth. 2, 112=61) D
3212 πράσα· τὰ βρύα καὶ τὰ φυκία (Num. 11, 5) LXX
3213 πρασιαί· αἱ ἐν τοῖς κήποις τετράγωνοι λαχανιαί, οἷον περασιαί, διὰ τὸ ἐπὶ πέρασι τῶν κήπων (η 127) Hom.
3214 πρᾶσις· ἀγορασία (Plat. leg. 849 c. Gen. 42, 1. Lev. 25, 28) LXX
3215 πρασοκουρίς· ζῷον χλωρόν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα D
3216 πρασόργην· δρέπανον, ᾧ τὰ πράσα κείρουσιν D
3217 Πράστιλλος· πόλις Θρᾴκης (Eupol. fr. 475 K.–A.) D
3218 πρατάνιον· μαλλόν D
3219 πρατα⟨ρό⟩σια· κατευχὴ ἀρχομένης ἀροτριώσεως D
3220 πρατήνιον· τὸ ὕπερον. Ἀττικοί. καὶ ἡλικία τις προβάτου νέου· ὡς δὲ ἔνιοι τοῦ πρώτου γεννωμένου, οἱ δὲ ἐνιαυσιαίου, ἄλλοι ἀρχομένου συνουσίας D
3221 πρατίας· ὁ τὰ δημόσια πωλῶν καὶ κηρύσσων (com. ad. fr. 794 K.–A.) D
3222 πράττει· μέλλει. ἐργάζεται
3223 πρατά· ἡ νουμηνία D
3224 πραϋμενῶς· προθύμως. πράῳ τῷ μένει χρώμενος D
3225 πραΰνει· κατασιγαίνει. κατακοιμίζει
3226 *πραΰνεται· μαλάσσεται A[12]
3227 *πραϋπάθειαν· πραΰτητα (Phil. Abr. 213. 1. Ep. Tim. 6, 11 v.l.) vg[5]A[17] N.T.

